www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# Π Α Υ Λ Ο Υ
## ΤΟΥ ΕΝ ΛΑΤΡῼ ΚΑΙ ΣΑΜῼ ΑΣΚΗΣΑΝΤΟΣ

* * *

Ἀναπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα, τῇ αἰτήσει τοῦ
Σεβ. Μητροπολίτου Σάμου καὶ Ἰκαρίας κ.κ. Παντελεήμονος,
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας

* * *

ΑΓΙΟΝ ΟΡΟΣ ΑΘΩΣ
* 1994 *

+

## ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ
## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΥΛΟΥ

## ΤΟΥ ΕΝ ΤΩ ΟΡΕΙ ΤΟΥ ΛΑΤΡΟΥ ΚΑΙ ΣΑΜΩ ΑΣΚΗΣΑΝΤΟΣ

*(Οὗ ἡ μνήμη τῇ 15ῃ Δεκεμβρίου)*

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια γ´παλαιά.
Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου σε.

Παῦλε μοναστῶν ἡ καλλονή, βλάστημα τερπνὸν τῆς ἐρήμου, ὁσίων καύχημα, Λάτρου σεμνολόγημα, πιστῶν τὸ στήριγμα, τοὺς ἐκ πόθου τελοῦντάς σου, τὴν πάνσεπτον μνήμην, καὶ τὴν τῶν λειψάνων σου προσπτυσσομένους σορόν, ρῦσαι, περιστάσεως πάσης, καὶ τῆς τοῦ πυρὸς καταδίκης, ταῖς πρὸς τὸν Δεσπότην σου ἐντεύξεσιν.

Οἶκον τῆς Τριάδος σεαυτόν, ἐναπεργασάμενος Πάτερ, θεομακάριστε, οἶκον ἐπ' ὀνόματι, ταύτης ἀνήγειρας, ἐν ἐρήμοις ἀβάτοις τε, τοῦ Λάτρου εἰσδύσας, ὡς Μωσῆς τὸ Σίναιον, ὄρος κατῴκησας, ἔνθα, εἰληφὼς θεῖον νόμον, μοναστῶν συστήματα ὄντως, ἐκδιδάσκεις ἄριστα θεσπέσιε.

Ἔχων παρρησίαν πρὸς Θεόν, ποίμνην ἣν πολλοῖς συνεστήσω, ἱδρῶσιν Ὅσιε, πρέσβευε φυλάττεσθαι, ἐπηρειῶν τοῦ ἐχθροῦ, ἐθνικῆς ἐξ ἐφόδου τε, πυρὸς καὶ μαχαίρας, πάσης ἐπιθέσεως, ἐπιβουλῆς πονηρᾶς· σὲ γάρ, πολιοῦχον καὶ σκέπην, ἔχουσα ἐν σοὶ τὰς ἐλπίδας, μετὰ Θεὸν κέκτηται μακάριε.

καὶ ἕτερα γ´ νεοσύνθετα. Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.

Καὶ τὴν Σάμον ἡγίασας, τῇ ἀσκήσει σου ὅσιε, Παῦλε παμμακάριστε ὡς ἐπόθησας, τὸν Ἰησοῦν ἐκθηρώμενος, καὶ ἔχων θησαύρισμα, ἐν σπηλαίῳ ἀνελθών, οὗ ἡσύχως τὸν βίον σου, πορευόμενος, τὸν πρωτεύοντα νήσου Θεοφάνη, ἐκ Θεοῦ εὗρες τροφέα, ὥσπερ Ἠλίας τὸν κόρακα.

Κερκετέα ἀνέδειξας, ἄλλον Σίναιον ὅσιε, ἔνθα κατηξίωσαι θείας χάριτος, ὅθεν πολίσας τὴν ἔρημον,

Μονῶν ἀνιδρύσεσι, μοναστῶν θείους χορούς, ἐν αὐταῖς συναγήοχας, πατρικώτατα, ἐπὶ γῆς βασιλείαν καταστήσας, τὴν οὐράνιον τρισμάκαρ, Παῦλε ἀγγέλων συνόμιλε.

Πυθαγόρου σκιάσματα, ὑπερήλασας ἅγιε, ζήσας ὥσπερ ἄσαρκος βίον τέλειον, διὸ ἐχθρὸς ὁ μισόκαλος, διῶξαι βουλόμενος, σὲ τῆς Σάμου ὁμαδόν, πλῆθος ὄφεων ἤγειρεν, ἐναντίον σου, οὓς ἀφάντους ἀπέδειξας εὐχαῖς σου, τοῦ Σωτῆρος καὶ Δεσπότου, ἐπικαλούμενος ὄνομα.

Δόξα. Ἦχος πλ.β΄.

Τοῦ θεοκήρυκος Παύλου συνωνυμήσας προφητικῶς, τὸν βίον τούτου, ἐζήλωσας μακάριε· συσταυρωθεὶς γὰρ τῷ Χριστῷ, Αὐτῷ ἠκολούθησας θαυμαστῶς, τὰ ἄνω φρονῶν καὶ ποθῶν, ὡς ἰσάγγελος πολιτευόμενος. Ὅθεν καὶ Λάτρος καὶ Σάμον ἡγίασας τῇ θεοειδεῖ παρουσίᾳ σου, πᾶσι βοῶν τοῖς τὴν μνήμην σου πιστῶς Παῦλε πανόσιε τελοῦσιν· ἀγαπήσατε τέκνα τὸν Θεόν, καὶ εὑρήσετε ὡς κἀγὼ ἀνάπαυσιν ἐν οὐρανοῖς καὶ ζωὴν τὴν αἰώνιον.

Καὶ νῦν. Προεόρτιον. Ἐκ τοῦ Μηναίου.

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. Καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. Ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός, Ὃν περ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· Πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

Εἴσοδος, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Ἀναγνώσματα ὁσιακά.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ

www.tezaurliturgic.ro

γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου νῆσος Σάμος, φιλοξένως ἐκθρέψασα τὸν πυροειδῆ στύλον τοῦ Λάτρου, Παῦλον τὸν τρισόσιον. Ποθῶν γὰρ οὗτος τὴν ἐν Χριστῷ ἀπροσπαθῆ ἡσυχίαν, τὸν Κερκετέα εὗρε τῆς θεωτικῆς ἐργασίας ἄριστον κατοικητήριον. Ἔνθα οὐρανόθεν τὴν Χάριν ἕλκων, τοῖς τέκνοις σου μυστικῶς ταύτην διεμέριζεν, πάντας καθοδηγῶν εἰς τὴν ὁδὸν τῆς ἁγιότητος. Ὅθεν εὐγνωμόνως τούτῳ βόησον· πρέσβευε τῷ Κυρίῳ ὁσιώτατε, ὅπως ἀεὶ στηρίζῃ ἐν τῇ ὀρθοδόξῳ πίστει, τὴν κληρονομίαν μου.

Ἦχος β΄.

Ἐξ Ἐλαίας Παῦλε φυεὶς τὸ κατὰ σάρκα, αἰνιγματωδῶς ὑπηνίξω τὴν ἐς ὕστερον εἰρηνοποιὸν πορείαν σου· πρῶτον γὰρ τὰς σεαυτοῦ ψυχικὰς δυνάμεις συναρμόσας τῷ εἰρηνοδώρῳ Χριστῷ, εἶτα τὸ πλῆθος τῶν προστρεχόντων σοι ἐκ καρδίας παρεκίνεις τοῖς θεοσόφοις λόγοις σου, εἰς ἀπόρριψιν τῆς ταραχώδους ἁμαρτίας καὶ λῆψιν δι' ἀσκήσεως τῆς τοῦ Ἁγίου Πνεύματος θείας εἰρήνης· ἣν ἱκέτευε διὰ παντὸς τηρεῖν καὶ ἐν ταῖς καρδίαις ἡμῶν ζώπυρον θεομακάριστε.

Ἦχος γ΄.

Τοῦ βοσκηματώδους βίου σε λυτρωσάμενος ὁ Κύριος, ὡς προειδὼς σου τὴν προαίρεσιν, Παῦλε μακάριε, ποιμένα λογικῶν ψυχῶν ἀνέδειξέ σε, τὸ φῶς ἀεὶ ὁρῶντα, φωτὶ ἀΰλῳ λαμπόμενον, φωτοειδεῖς τε ἀκτῖνας ἐκ προσώπου σου ὑπερφυῶς ἐκπέμποντα καὶ φωτὸς υἱοὺς ὡς ἐκ τούτου τοὺς μαθητάς σου ἐργαζόμενον. Πρέσβευε οὖν τῷ Φωτοδότῃ Χριστῷ Πάτερ φωτόμορφε, ἐγκαινῖσαι καὶ ἡμῖν τὸ φῶς Αὐτοῦ τὸ ἄκτιστον καὶ χαροπάροχον.

Ἦχος δ΄.

Τὰ ἄνω ποθῶν καὶ ἐρῶν θεῖε Παῦλε, κατὰ τὴν προτροπὴν τοῦ συνωνύμου σου Κορυφαίου, στύλον θεόκτιστον καὶ σπήλαια ὑψιβάμονα ἠγάπας ἀνέρχεσθαι καὶ ἀεὶ κατοικεῖν· ἐν οἷς ὡς ἐκ μελιττοφόρου κυψέλης τὴν ἀρετογεννέτειραν ἡσυχίαν ἐτρύγεις, καὶ δι' αὐτῆς τῷ Δεσπότῃ Χριστῷ ἐγγύτερον ἐγίνου. Ὅθεν σοῦ δεόμεθα οἱ ἐν πολλαῖς μερίμναις ἀνησύχοις ἐντριβόμενοι, δώρησαι καὶ ἡμῖν ἐν θεοαμερίμνῳ πολιτείᾳ φιλοχρίστως πορεύεσθαι, καὶ μελετᾶν διὰ παντὸς τὰ δικαιώματα Κυρίου τὰ σωτήρια.

Δόξα. Ἦχος πλ.α΄.

Δεῦτε τὸν λαμπρὸν ἀστέρα τοῦ Λάτρου καὶ τῆς Σάμου εὐφημήσωμεν· δεῦτε εὐωχηθῶμεν τῇ τοῦ θαυμασίου αὐτοῦ βίου ἁγιαστικῇ ἐκμιμήσει. Οὗτος γὰρ ἐν ἀληθείᾳ

ἀγαπήσας τὸν Θεὸν ὅλῃ ψυχῇ καὶ διανοίᾳ, τοῖς πρόσσω ἀεὶ ἐπεξετείνετο καὶ τοῖς ἄνω μυστικῶς ἐν ἀνδρείᾳ συνεγίνετο. Ὅθεν δεσποτικῶν δωρεῶν ἀξιωθεὶς ὑπὲρ λόγον, πηγὴ εὐλογίας ἐδείκνυτο τοῖς ἐν πίστει προστρέχουσιν. Αὐτῷ βοήσωμεν· Παῦλε ἰσοκάρδιε τοῦ τῶν Ἐθνῶν ἀποστόλου, δὸς καὶ ἡμῖν μικρὰν ἀπόμοιραν τῆς πρὸς Χριστὸν ἀγάπης σου.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Δεῦτε χριστοφόροι λαοί, κατίδωμεν θαῦμα πᾶσαν ἔννοιαν ἐκπλῆττον καὶ συνέχον, καὶ εὐσεβῶς προσκυνοῦντες, πίστει ἀνυμνήσωμεν. Σήμερον πρὸς Βηθλεέμ, ἐγκυμονοῦσα Κόρη παραγίνεται, τοῦ γεννῆσαι τὸν Κύριον· χοροὶ δὲ Ἀγγέλων προτρέχουσι. Καὶ ταῦτα βλέπων ἐβόα Ἰωσὴφ ὁ Μνήστωρ· τί τὸ ἐν σοὶ ξένον μυστήριον Παρθένε; καὶ πῶς μέλλεις λοχεῦσαι, ἡ ἀπειρόζυγος Δάμαλις;

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τρὶς ἐκ Θεοῦ προσετάγη, ὁ σὸς αὐτάδελφος, σὲ προσκαλέσαι πάτερ, πρὸς ζωὴν τῶν ἀζύγων, ᾧ καὶ πεισθεὶς ἐφάνης στύλος λαμπρὸς, τῆς ἐνθέου ἀσκήσεως, καταγλαΐσας τὸ Λάτρος σαῖς ἀρεταῖς, καὶ τὴν Σάμον Παῦλε ὅσιε.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ...

Λίθους ἐπ᾽ ὤμους βαστάζων, ὕπνον ἐδίωξας, νύκτας ἀφιερώσας, εἰς Χριστοῦ ὑμνῳδίαν, ὡς ἄγγελος θεόφρον ὑμνητικός, ὅθεν δένδρον πυρίφλεκτον, τὴν καθαράν σου ἐμήνυσε προσευχήν, καὶ τὸν ζῆλον Παῦλε ὅσιε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

᾿Επὶ τὴν πέτραν Κυρίου, σοὺς πόδας ἔστησας, διὸ πετρῶν εἰς ὕψη, ἀναβαίνων θεόφρον, καρδίᾳ ἐξεζήτεις Αὐτὸν ἀεί, Οὗ τὸ ῎Ονομα ἔσχηκας, σὸν ὑπὲρ λόγον ἡδύτατον γλυκασμὸν, καὶ ἐχθρῶν πικρὸν καυτήριον.

Δόξα. ῏Ηχος δ΄.

Τῇ τοῦ Σταυροῦ θείᾳ δυνάμει, τὸν ἀντίπαλον ἐχθρὸν ἀείποτε ἐνίκας, τὰς τῶν θανατηφόρων βελῶν πληγὰς αὐτοῦ εἰς οὐδὲν λογιζόμενος, Παῦλε ὅσιε· ἔσχες γὰρ ἐκ πείρας τὴν ἐν Χριστῷ ἀφοβίαν, διὸ καὶ ἀνδρικῶς ἐχώρεις ἀπὸ δόξης εἰς δόξαν, πένης, πλάνης, ἄστεγος, νηστεύων καὶ ἀκτήμων· ἐν οὐρανοῖς δὲ νῦν κατέχων ἀσυλήτως, ἃ νοῦς οὐ δύναται νοῆσαι, παράσχου ἡμῖν τὴν εὐλογίαν σου, ὅπως δοξάζωμεν τὸν σὲ δοξάσαντα πλουσιόδωρον Κύριον.

Καὶ νῦν. ῾Ο αὐτός. Προεόρτιον.

᾿Ησαΐα χόρευε, Λόγον Θεοῦ ὑπόδεξαι· προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον πυρὶ καίεσθαι καὶ μὴ καταφλέγεσθαι τῇ αἴγλῃ τῆς θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ ᾿Εδέμ· καὶ Μάγοι πορεύεσθε ἰδεῖν τὴν Σωτηρίαν ἐν φάτνῃ σπαργανούμενον, ῝Ον ἀστὴρ ἐμήνυσεν ἐπάνω τοῦ Σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.
᾿Απολυτίκιον. ῏Ηχος πλ.α΄. Τὸν συνάναρχον Λόγον

᾿Εξ ᾿Ελαίας μὲν ἔφυς δένδρον χριστόκαρπον, ἐν τῷ Λάτρῳ δὲ Παῦλε καὶ Σάμῳ ἤσκησας, πᾶσι διδάσκων ἀπλανῶς, πῶς δεῖ λατρεύειν τῷ Θεῷ, καὶ Εὐαγγέλιον τηρεῖν, ὥστε γενέσθαι οὐρανῶν, πολίτας καὶ κληρονόμους, καὶ συναφθῆναι ἀγγέλων, καὶ τῶν ἁγίων χοροῖς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´στιχολογίαν. Κάθισμα. Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Χριστῷ ἀνατεθείς, ἐκ νεότητος Παῦλε, προθύμως τὴν ὁδὸν, τῆς ἀσκήσεως ἔβης, διὸ καὶ ἠξίωσαι, χαρισμάτων μακάριε, τὰ οὐράνια, τάγματα βλέπειν Ἀγγέλων, καὶ τὰ μέλλοντα, ὥσπερ παρόντα θεᾶσθαι, δυνάμει τοῦ Πνεύματος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ κλίνας οὐρανούς, καὶ Παρθένῳ οἰκήσας, προέρχεται σαρκί, Βηθλεὲμ ἐν Σπηλαίῳ, τεχθῆναι καθὼς γέγραπται, ὁραθῆναί τε νήπιος, ὁ τὰ νήπια, ζωογονῶν ἐν τῇ μήτρᾳ· τούτῳ χαίροντες, νῦν ὑπαντήσωμεν πάντες, καρδίας εὐθύτητι.

Μετὰ τὴν β´ στιχολογίαν. Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.

Πάσῃ δυνάμει σου, Θεῷ ἐλάτρευσας, Παῦλε μακάριε, καὶ Λάτρος ἔδειξας, θεωτικῆς σου ἀγωγῆς, ὑπέρλαμπρον παροικίαν· Σάμον δὲ ἡγίασας, τῇ σεπτῇ παρουσίᾳ σου, ὅτε ἐφησύχασας, ὡς στρουθίον φιλέρημον, ἐν ὄρει Κερκετέως θηρεύων, Χριστὸν ὡς θῦμα ὑπερπόθητον.

Δόξα. Τὸ αὐτό. καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαρᾶς ἐμπλήσθητε, πάντα τὰ πέρατα· ἡ Θεοτόκος γάρ, τεκεῖν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντός, ὤπθαύματος ἀνεκφράστου· ἄρχεται ὁ Ἄναρχος, καὶ σαρκοῦται ὁ Ἄσαρκος, Σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα, ἡ Βηθλεὲμ ἀγάλλου καὶ χόρευε, ἡ κτίσις ἡμέραν προεόρτιον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐν ἁπλότητι ψυχῆς, κατηκολούθησας Χριστῷ, κατατήξας σου σοφέ, σάρκα ἀσκήσει φοβερᾷ, ὅθεν θαυμάτων ἀπείληφας θείαν χάριν· δαίμονας δεινούς, ἀποδιώκειν ψυχῶν, καὶ πάθη χαλεπά, ἰᾶσθαι σώματος, τοῦ δὲ φωτὸς πιμπλάμενος πάτερ, πυροειδὴς ὅλος ἐδείκνυσο, διό σε Παῦλε, ἀνευφημοῦμεν, μνήμην τελοῦντές σου τὴν πάνσεπτον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρί, ἀκατάφλεκτον, ῥάβδον Ἀαρών, τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου....

Προκείμενον· Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον· τὸ Ὁσιακόν, τῇ ε΄ τοῦ αὐτοῦ μηνός, εἰς τὸν Ὄρθρον.
Ὁ Ν΄, Ἐλέησόν με ὁ Θεός...

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός....
καὶ τὸ στιχ. ἰδιόμελον

Ἦχος πλ.β΄.

Τῶν παλαιῶν ἀσκητῶν, τοὺς βίους ἐκμιμησάμενος, Παῦλε θεσπέσιε, ὅλος φλὸξ ἐδείκνυσο τῇ θεοεραστικῇ σου ἀγάπῃ· διὸ καὶ ὁ Κύριος ἰσομέτρως σοι ἀπέδωκεν ὡς οἰκονόμῳ πιστῷ, τὸν πλοῦτον τῆς Χάριτος. Αὐτὸν ἱκέτευε, Λάτρου καὶ Σάμου ἀγαλλίαμα, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὁ Κανὼν τοῦ Ὁσίου, ἐκ τοῦ Μηναίου, παλαιός.
Ὠδὴ α΄. Ἦχος α΄. Χριστὸς γεννᾶται.

Καὶ νῦν σοι μέλος ἐφύμνιον, προσάγειν ἐν ἀνοίξει τοῦ στόματος, Παῦλε θεοφόρε σπεύδοντι, βράβευσόν μοι τοῦ λέγειν ταῖς σαῖς εὐχαῖς, Ὅσιε τὴν χάριν, ὡς ἀγῶνας τοὺς σεπτοὺς ἀνακηρύξω σου.

Ἀπὸ νεότητος Ὅσιε, ζυγὸν τὸν τοῦ Κυρίου ἀράμενος, καὶ σῆς καρδίας ταῖς αὔλαξι, τοῦτον ἐγκατασπείρας, πνευματικόν, ἄσταχυν ἐδρέψω, τὸν στηρίζοντα ψυχὰς θεομακάριστε.

Ἱδρώτων πλείστων ἀντείληφας, τὴν ἄνω Βασιλείαν ὡς ἄσαρκος, ἐν γῇ βιώσας καὶ σώματι, ζήσας τὴν τῶν ἀγγέλων διαγωγήν, νῦν οὖν ἐν ὑψίστοις, τῇ Τριάδι παρεστὼς ἡμῶν μνημόνευε.

Θεοτοκίον

Ρευστήν μου σάρκα Θεόνυμφε, λαβὼν ἐκ σῶν αἱμάτων ὁ ἄσαρκος, καὶ φάτνῃ τεχθεὶς βουλήματι, ταύτην τὴν προσληφθεῖσαν θεοποιεῖ, σάρκα Θεομῆτορ, ἐξ ἑνώσεως αὐτῆς ὁ ὑπεράγαθος.

Ὠδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.

Ὢπ τῆς σῆς ἀνδρείας, ὢπ ψυχῆς τῆς γενναίας ἀοίδιμε· σὺ γὰρ τὰς μύλας τῶν λεόντων, θλάσαι τῶν ἀοράτων, ποθῶν δύο λίθους ἔφερες, ὑπερμεγέθεις καιρῷ τῆς νυκτός, ἄχθος ἐπωμάδιον.

Τίς σου τοὺς ἀγῶνας, ἐξειπεῖν κατ’ ἀξίαν δυνήσεται; σὺ γὰρ ὁδοὺς τὰς τραχυτέρας, τῆς ἐρήμου βαδίζων, ὠμὰς τὰς βαλάνους ἤσθιες, γεῦσιν ἐθίζων τὴν σὴν ἐντρυφᾶν, πόνοις τῆς ἀσκήσεως.

Ὁ θεόπτης πάλαι, Μωϋσῆς τῆς ἐν βάτῳ ἠξίωτο, μυστικωτέρας θεωρίας, ὁ δὲ πάντιμος Παῦλος, πυρὶ ἐκραγέντι ἄνωθεν, αὐτὸς ἐπέγνω σαφῶς ἑαυτόν, ἄκαυστα φλεγόμενον.

Θεοτοκίον

Ἄναρχος ὢν φύσει, ὡς Θεὸς καὶ Πατρὶ Λόγος ἰσότιμος, τὴν ὑπὸ χρόνον κατεδέξω, γεννηθεὶς ἐκ Παρθένου, ἀρχὴν φύσει φανεὶς ἄνθρωπος, καὶ νηπιάσας ὡς βρέφος Χριστέ, ὤφθης σπαργανούμενος.

Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Κυβερνώμενος σθένει παντουργικῷ, καὶ ἱστίῳ πτερούμενος τοῦ σταυροῦ, κούφως διέπλευσας, τὸ τοῦ βίου κλυδώνιον, καὶ πρὸς θείους ὄντως, λιμένας κατήντησας, ἀρετῶν ἐμπορίαν πολλὴν ἐπαγόμενος, ἥν περ τῷ Δεσπότῃ, προσκομίσας τῶν ὅλων, τὸ εὖ δοῦλε ἤκουσας, καὶ τὰ τούτοις ἀκόλουθα, διὸ Παῦλε μακάριε, πρέσβευε Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν

δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων, διὰ τοῦτο βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὕπνῳ νικηθέντι σοι ποτέ, καιρῷ τῷ τῆς νεότητος, καὶ πρὸς τὴν πάννυχον ὀκλάσαντι, στάσιν ὁ σὸς κατιδών, τίμιος διδάσκαλος, Πέτρος κατὰ κόρρης Πάτερ παίει, καί σοι τὸ ῥάπισμα δούς, δίδωσιν εὐθὺς καὶ τὴν ἴασιν.

Σκεῦος ἁγιώτατον ὀφθείς, τὸ μύρον τὸ οὐράνιον, Χριστὸν ἐδέξω τῇ καρδίᾳ σου, καὶ τὴν λαμπάδα τῆς σῆς, καρτερᾶς ἀσκήσεως, διὰ πολιτείας ἐναρέτου, ἀνάψας εἰλικρινῶς, πρὸς νυμφῶνα θεῖον ἀνέδραμες.

Θεῷ κατὰ μόνας ὁμιλῶν, καὶ τούτῳ συγγινόμενος, ἀμέσως Παῦλος ὁ πατὴρ ἡμῶν, οὐδέποτε νικηθείς, ὑπὸ ὕπνου γέγονε, μετὰ τὴν πληγὴν τοῦ διδασκάλου, ἀλλ' ὥσπερ ἄσαρκος ὤν, ἄγρυπνος ἀεὶ ἐχρημάτισε.

Θεοτοκίον

Ἔχων Λόγε θρόνον οὐρανόν, τὴν γῆν δὲ ὑποπόδιον, μήτραν Παρθένου σωματούμενος, εἰσέδυς καὶ πενιχρόν, σπήλαιον κατῴκησας, ὑπὸ δὲ τῶν Μάγων βασιλέων, Περσίδος ὡς Βασιλεύς, δῶρα καὶ Θεάνθρωπος εἴληφας.

Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης.

῾Ιλύος παθῶν ἐκκαθάρας τὸν νοῦν, ἀκηλίδωτον ἔσοπτρον γέγονας, ἐλλάμψεις τὰς τοῦ Πνεύματος δεχόμενος ἀεί, ὅθεν σοι ὁ πειράζων, ᾐσχύνετο προσβάλλων, τῆς ἐμφύτου κακίας, τὸ ἀσθενὲς ἐκδιδασκόμενος.

Σοφίαν τὴν ὄντως, Χριστὸν τὸν Θεόν, σῇ καρδίᾳ κτησάμενος ἔνοικον, τὸν ἄσοφον κατέβαλες κακίας σοφιστήν, ποσί σου τοῖς ὡραίοις, σοφίσμασι ποικίλοις, δελεάζειν σε Παῦλε, τὸν θεοσόφιστον πειρώμενον.

Φωτὸς ὢν δοχεῖον, ἡμέρας υἱός, τὸν τοῦ σκότους ἐφαύλισας ἄρχοντα, τὸν ὥσπερ ἐνεδρεύοντα, λέοντα κατὰ σοῦ, τῆς γῆς σεισμοὺς καὶ κλόνους, πετρῶν ἐξ ἀναιδείας, σχεδιάζοντα Παῦλε, καὶ φαντασίαις φρυαττόμενον.

Θεοτοκίον

Ριφέντα τὸν πρῶτον, ᾿Αδὰμ ἐξ ᾿Εδέμ, ἀειπάρθενε Κόρη Θεόνυμφε, ὁ Λόγος ὁ προάναρχος, ἐκ σοῦ σωματωθείς, καὶ φάτνῃ τῶν ἀλόγων, ἀνακλιθεὶς ὡς βρέφος, τὸ ἡμέτερον γένος, τῆς ἀλογίας ἐλυτρώσατο.

᾿Ωδὴ στ΄. Σπλάγχνων ᾿Ιωνᾶν.

῞Ωσπερ ὁ Σωτήρ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὀλίγοις λαὸν ἄρτοις ἐκόρεσε, πολυάριθμον, καὶ ὁ Παῦλος ὡσαύτως ὁ μύστης Χριστοῦ, ἀμφορέως σμικροτάτου βραχὺ νάματος, πλείστους κατακόρως ηὔφρανε, καὶ τὸν κόρον δηλοῖ τὸ περίσσευμα.

Παύεις τὸν αὐχμόν, εὐχαῖς σου θεσπέσιε, καὶ λύεις λιμὸν τὸν ἀπειλούμενον, δι᾽ ὑδάτων τε, τῶν ὑψόθεν ραγέντων μεθύσκεις τὴν γῆν, καὶ ποτίζεις τὰς ἀνίκμους ταύτης αὔλακας, αὔξων, καὶ πλουτίζων χάρισι, καὶ πληθύνων αὐτῆς τὰ γεώργια.

Ἄπονον ζωήν, ἐν πόνοις ἀπείληφας, καὶ πόνων δεινῶν παύεις τὴν κάκωσιν, τῶν ἐκ πίστεως, αἰτουμένων λαμβάνειν ἰάσεις ἐκ σοῦ, πανσεβάσμιε πατέρων ἐγκαλλώπισμα, ὅθεν λῦσον τὰς ὀδύνας μου, τῆς ψυχῆς καὶ τοῦ σώματος δέομαι.

Θεοτοκίον

Λόγε τοῦ Πατρός, Υἱὲ Θεοῦ ἄναρχε, καὶ γόνε Μητρὸς, ἁγνῆς Θεόπαιδος, προαιώνιος, ὡς Θεὸς καὶ ὡς ἄνθρωπος πρόσφατος ὤν, ἐν Σπηλαίῳ ἐχωρήθης ὁ ἀχώρητος, ὅθεν πάντες ἐκπληττόμενοι, προσκυνοῦμεν τὸ μέγα μυστήριον.

**Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.**

Βίον ἀσκήσας τὸν ἰσάγγελον Πάτερ,
ἀειφλεγῆ τηρῶν Κυρίου ἀγάπην
ἐν τῷ φωτὶ λαμπόμενος Αὐτοῦ διὰ παντός,
Λάτρος ὄρος Σάμον τε, σοῖς ἱδρῶσιν ποτίσας,
εἴληφας ἐνέργειαν, τῶν θαυμάτων πλουσίως,
καὶ νῦν ἱκέτευε δεόμεθα Χριστόν,
πᾶσιν ὦ Παῦλε χαρίσασθαι ἔλεος.

**Ὁ Οἶκος**

Χριστὸν ποθήσας ἐκ παιδός ἐξ ὅλης σου καρδίας
καὶ τὸν σταυρὸν σου ἄρας δι’ ὀμφῆς προσκλητικῆς
τὴν χεῖρα ἔβαλες ἐπ’ ἄροτρον μηδόλως τὰ ὄπισθεν λογιζόμενος.
Τὸ δὲ Λάτρος καὶ τὴν Σάμον ἔχων σου στάδιον ἁγιαστικὸν
νικητικῶς ἐστέφθης φωτολαμπέσιν ἀγλαΐαις
καὶ αὐτουργὸς ἐγένου σημείων ὑπερφυῶν.
Ὅθεν σοι καὶ νῦν συνισταμένῳ τῷ Θεῷ φιλότεκνε
βοῶμεν οἱ τιμῶντες τὴν μνήμην σου· ἱκέτευε Αὐτῷ
πᾶσιν ὦ Παῦλε χαρίσασθαι ἔλεος.

www.tezaurliturgic.ro

**Τῇ ΙΕ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου τοῦ θαυματουργοῦ, τοῦ ἐν ὄρει τοῦ Λάτρου καὶ ἐν τῇ νήσῳ Σάμῳ ἀσκήσαντος.**

Στίχοι

Εἰ καὶ νεωστὶ ὤφθη Παῦλος τῷ βίῳ
Ἀλλ' οὖν ἴσος πέφηνε τοῖς πρὶν πατρᾶσι.
Δεκάτῃ πέμπτῃ τε λατρεύει Λατρηνὸς Θεῷ ἐναργῶς.

Οὗτος ὁ τρισμακάριος πατὴρ ἡμῶν πατρίδα ἔσχε τὴν πολίχνην Ἐλαίαν, ἐπίνειον τῆς ποτε περιφήμου πόλεως Περγάμου, γεννηθεὶς ἐκ γονέων εὐλαβῶν καὶ μετῳκισάντων εἰς τὴν κώμην Μαρικᾶτον. Ἐκεῖθεν θείᾳ προσκλήσει, γενoμένῃ τῷ προαποταξαμένῳ ἀδελφῷ αὐτοῦ Βασιλείῳ, ἦλθεν εἰς τὸ περιώνυμον ὄρος Λάτρος, ἔνθα ἀποκαρεὶς μεγάλην ἄσκησιν ἐπεδείξατο, διὸ καὶ ἠξιώθη πολλῶν χαρισμάτων παρὰ Κυρίου καὶ συνεχοῦς πνευματικῆς φωτολουσίας. Πόθῳ δὲ τελειοτέρας ἡσυχίας ἐχώρησεν εἰς τὴν ἔρημον, ἔνθα σφόδρα παλαίσας πρὸς τὸν μισόκαλον ἐχθρὸν τῆς σωτηρίας ἡμῶν, ἐγένετο κάτοχος οὐρανίων θεαμάτων καὶ ἀποκαλύψεων. Ἀνελθὼν δ' εἶτα εἰς θεόκτιστον στύλον καὶ τὴν δόξαν τῶν προστρεχόντων ἀνθρώπων φεύγων, ἦλθεν εἰς τὸ ἐν τῇ νήσῳ Σάμῳ σπήλαιον τοῦ πάλαι ποτὲ ὀνομαστοῦ φιλοσόφου Πυθαγόρου, ἔνθα τελειοτέραν εἰργάζετο τὴν ἡσυχαστικὴν πολιτείαν. Πλήν, γνωστὸς καὶ ἐνταῦθα γενόμενος καὶ ἐρευνώμενος ὑπὸ τῶν ἐν Λάτρῳ μαθητῶν αὐτοῦ ἐπέστρεψεν ἐκεῖσε, ἔνθα καὶ τὴν πνευματικὴν διοίκησιν τῶν πολυπληθῶν μοναστῶν ἐδέξατο, ὡς πλοῖον κατάφορτον ταῖς εὐαγγελικαῖς ἀρεταῖς καὶ θεοσημείαις κοσμούμενος. Τὸ πολυμέριμνον, ὅμως, τῆς διοικήσεως βαρυνθεὶς καὶ τῷ γλυκερῷ κέντρῳ τῆς πεποθημένης αὐτῷ ἡσυχίας βαλλόμενος ἐπανῆλθεν εἰς τὸν Κερκετέα τῆς Σάμου, ἐξ ἧς θεόθεν λαβὼν τὴν πληροφορίαν, μετηνάστευσεν ὁριστικῶς εἰς Λάτρος, ἔνθα καὶ τὸν πολυθαύμαστον βίον ἐτέλεσεν ὁ τρισμακάριος, πλήθη μοναστῶν τε καὶ μιγάδων ὁδηγήσας εἰς τὴν ἐν Χριστῷ μετάνοιαν καὶ σωτηρίαν λόγοις τε καὶ ἔργοις τούτους παρακινῶν, ποικίλαις τε θαυματουργίαις δοξαζόμενος καὶ μετὰ θάνατον, ἃς ἐνεργεῖ τοῖς μετὰ πόθου ἐπικαλουμένοις τὴν μεσιτείαν αὐτοῦ.

www.tezaurliturgic.ro

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ παῖδες εὐσεβείᾳ.

Ὡς ἥλιος ἐκλάμψας, τὴν ἑώαν εὐθὺς κατεφώτισας, εἰς δὲ τὸν στύλον ἀνελθών, ὡς ἐν μέσῳ οὐρανοῦ ἑστώς, οἰκουμένην δαδουχῶν τὴν ὅλην εὔφρανας, ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Μακρύνας φυγαδεύων, σεαυτὸν τῶν κοσμικῶν συγχύσεων, καὶ ἐν ἐρήμῳ ψαλμικῶς, αὐλισθεὶς θεομακάριστε, προσεδέξω τὸν Θεόν, ἐν τῇ καρδίᾳ σου, ἀγγελικῇ φυλακῇ, τὸν σὲ φρουροῦντα.

Ἑώρας τὰς κολάσεις, τὰς ἐκεῖ διανοίας τοῖς ὄμμασι, καὶ φιλανθρώπῳ σου ψυχῇ, τὴν καρδίαν ὀδυνώμενος, ἐν τοῖς δάκρυσι σαὐτόν, ἀεὶ κατέβρεχες, ὥσπερ Δαβίδ, ἐν καιρῷ νυκτὸς τὴν κλίνην.

Θεοτοκίον

Ὁ ἄσαρκος σαρκοῦται, καὶ ὁ ἄχρονος ἐν χρόνῳ γίνεται, καὶ σπαργανοῦται δι’ ἡμᾶς, ὁ τὴν γῆν σπαργανῶν Κύριος, ἐν ὀμίχλῃ σὰρξ αὐτὸς ὑπὲρ κατάληψιν, ἀναλλοιώτως ὀφθείς, ἐξ ἀπειράνδρου.

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

Σύντονον μετὰ Δαβὶδ εὔρρυθμον μέλος, παναρμόνιον ἔψαλλες λέγων· ὡς αἱ παρακλήσεις σου, τὴν ψυχήν μου θεοπρεπῶς, φιλανθρώπῳ σου ροπῇ Παντάναξ ηὔφραναν. Διὸ καὶ γηθόμενος ἐκραύγαζες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Νέμων σοι τὰ δι’ ἐφέσεως ὁ Κτίστης, νεαρῷ τυρῷ σε δεξιοῦται, καὶ τρισὶν ἐκτρέφει σε θριδακίναις θεοπρεπῶς, ὡς ἐκ βρέφους πᾶσαν ὄρεξιν πατήσαντα·

χειρὶ δὲ ἀγγέλου ταῦτα δίδωσιν, ὡς ἀγγέλων τὴν πολιτείαν ζηλώσαντι, τῷ δεδοξασμένῳ, Παῦλε θεοφόρε.

Ἴσχυσαν ἀποφυγεῖν τὴν καταδίκην, τρεῖς κατάδικοι δέσμιοι ἄνδρες, ὡς λειποτακτήσαντες λειτουργίας τῆς τοῦ κοινοῦ· ἡ γὰρ σχοῖνος ἀοράτως δι᾽ ὀνόματος, λυθεῖσα τοῦ σοῦ Πάτερ πανένδοξε, τοὺς δεσμίους ἐκ τῶν κινδύνων ἐρρύσατο, μόνη φερομένη, χερσὶ τοῦ κατασχόντος.

Θεοτοκίον

Ἥλιον δικαιοσύνης ἡ τεκοῦσα, δι᾽ ἀστέρος συγκαλεῖται Μάγους, ἐν χρυσῷ καὶ σμύρνῃ τε, καὶ λιβάνῳ καινοπρεπῶς, προσκυνοῦντας τὸν ἀτρέπτως νηπιάσαντα, Ὃν περ οἱ ποιμένες ἐμεγάλυναν, καὶ ἀγγέλων πληθὺς ἀνύμνει δοξάζουσα, ὡς κατ᾽ οὐσίαν Θεόν, καὶ βροτὸν φύσει.

Ὠδὴ θ΄. Μυστήριον ξένον.

Φημίζουσι τὴν πρὸς Θεὸν παρρησίαν σου, καὶ ἅπερ ἐτέλεσας, μετὰ τὴν πρὸς αὐτὸν ἐκδημίαν, ἐξαίσια ἔργα· πολλοὺς τῷ ἐλαίῳ γὰρ τῆς σῆς φωταγωγοῦ, νοσημάτων ἐκ ποικίλων ἠλευθέρωσας.

Ὁλόφωτον σοῦ τὴν ψυχὴν ἔχων Ὅσιε, ὡς μύρῳ τῆς Χάριτος, ὅλος καταρδευθείς, ἐν ἐλαίῳ δαίμονας διώκεις, λεπροὺς ἐκκαθαίρων, καὶ βρωθείσας κεφαλάς, καὶ φυμάτων χαλεπῶν παύων δριμύτητα.

Ρηγνύμενος πίπτει σατὰν ὁ παμπόνηρος, θεωρῶν ἱστῶντά σε, θραῦσιν τὴν τῶν βοῶν, τῆς λυχνίας τῆς σῆς ἐν τῷ μύρῳ· καὶ γὰρ ἐξ αὐτῶν μιᾶς χρισθείσης, ἡ φθορὰ καὶ τὰς ἄλλας τὰς αὐτῆς ψαυούσας πέφευγεν.

Θεοτοκίον

Συνέλαβες χρόνοις ἐσχάτοις ἐν μήτρᾳ σου, Ὃν Πατὴρ ἐγέννησεν, Υἱὸν πρὸ αἰώνων ἀρρεύστως ἀπείρανδρε

Μῆτερ· διὸ καὶ ἀστὴρ τὸν ἐπουράνιον δηλοῖ, καὶ ἡ γῆ σὺν τῷ Σπηλαίῳ τὸν ἐπίγειον.

Ἐξαποστειλάριον.
Ἦχος β΄. Τοῖς μαθηταῖς.

Δαβιτικῶς ἐξήνθησας, ἐν τῷ οἴκῳ Κυρίου, ὡς φοίνιξ Πάτερ ὅσιε, τοὺς καρποὺς τῶν σῶν πόνων, εἰς ἑκατὸν νῦν πληθύνων, ὅθεν νέφος δαιμόνων, τοῖς ὄμβροις τῶν δακρύων σου, Παῦλε μάκαρ βυθίσας, παρὰ Χριστοῦ, γέρα καὶ βραβεῖα νίκης ἐδέξω, καὶ τῶν θαυμάτων πάνσοφε, ἀφθονόπλουτον χάριν.

Προεόρτιον, ὅμοιον.

Ὕμνον πιστοὶ προσάξωμεν, τῇ Παρθένῳ Μαρίᾳ· ἰδοὺ γὰρ νῦν προέρχεται, Βηθλεὲμ ἐν τῇ πόλει, τεκεῖν Χριστὸν τὸν Σωτῆρα, ὅθεν Μάγοι σὺν δώροις, μετὰ ἀστέρος δράμετε, σὺν ἡμῖν προσκυνῆσαι, Ποιμένες δέ, ἐκβοῆσαι σπεύσατε σὺν Ἀγγέλοις, τῷ τικτομένῳ Δόξα σοι, ἐν σπηλαίῳ καὶ φάτνῃ.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ.δ΄. Ὢπτοῦ παραδόξου θαύματος.

Παῦλε Ἐλαίας τὸ βλάστημα, υἱὸς εἰρήνης φανείς, τὴν εἰρήνην τοῦ Πνεύματος, βράβευμα τοῖς τέκνοις σου, ἀκλινὲς διηγόρευες, τῇ δὲ ἀσκήσει μαθὼν τὰ ὕψιστα, τῶν μυστηρίων, ἅπερ χαρίζεται, Χριστὸς ὁ Κύριος, τοῖς πολλῇ ἁπλότητι καὶ καθαρᾷ, συνειδήσει τρέχουσιν, ἡμῖν κατέλιπες.

Παῦλε τοῦ Λάτρου τὸ καύχημα, ὑποταγῇ ἀληθεῖ, ἐμιμήσω τὸν Κύριον, Ἑαυτὸν κενώσαντα, καὶ σταυρὸν

ὑπομείναντα, ὅθεν ἐδέξω ὄμβρους τῆς Χάριτος, οἷς περ ἀρδεύεις, ἅπαν τὸ πλήρωμα, πιστῶν τρισόλβιε, ὑποδεικνύς, τίνι τρόπῳ ἔρχεται, ψυχῇ ἡ κάθαρσις.

Παῦλε τῆς Σάμου ἀγλάϊσμα, τὴν ἡσυχίαν ζητῶν, Κερκετέα κατέλαβες, ἔνθα κέρκῳ εἴληφας, νοητὸν ψυχοδράκοντα, καὶ ὡσεὶ παίδων, τούτου ἀθύρματα, τὰς προσβολάς τε καὶ τὰ τοξεύματα, ἔχων ἠφάνισας, πάντα φόβον Ὅσιε ἐκ σῆς ψυχῆς, τὸν Θεὸν φοβούμενος, πλήθει ἀγάπης σου.

Παῦλε Ὁσίων περίληψις, ὁ βίος πέλει ὁ σός, ὑφανθεὶς θείᾳ Χάριτι, καὶ τῇ συνεργίᾳ σου, ὅν περ πάντες θαυμάζομεν· ὅθεν τοῖς πόθῳ μνήμην τιμῶσί σου, δίδου ὡς δῶρον γεῦσιν χριστέραστον, δι' ἧς ἐγγίσωμεν, τῷ Δεσπότῃ ἅγιε καὶ σωστικάς, ἐντολὰς τηρήσωμεν, Εὐαγγελίου Αὐτοῦ.

Δόξα. Ἦχος ὁ αὐτός.

Συσταυρωθεὶς ἐφ' ἅπαξ τῷ Χριστῷ, πάντων ἠλόγησας Παῦλε, καὶ τῆς γλυκύτητος τοῦ πλούτου αὐτοῦ ἔμπειρος γενόμενος, ὡς ἐξ οἴνου μεθυστικοῦ, μόνον Αὐτὸν ἐπεπόθεις, μόνον Αὐτὸν ἐλογίζου, μόνον Αὐτῷ ἀσκητικῶς τὴν ὕπαρξίν σου κατέτηκες. Διὸ γέγονας τοῦ θείου ἀέρος πολίτης, ἀγγέλοις τε καὶ ἁγίοις συμπεριπολεύων, καὶ ἐπιτερπόμενος ταῖς φωτιστικαῖς τῆς Χάριτος ἀγλαΐαις· ὡς κατ' ἐνώπιον ἱστάμενος δὲ Θεῷ, μωσαϊκῶς Αὐτῷ ὡμίλεις, Ὃν ἱκέτευε ὑπὲρ ἡμῶν, φιλότεκνε Ὅσιε.

Καὶ νῦν. Προεόρτιον, ὁμόηχον.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν. Φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλειον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή, αἰνεσάτω τὸν Παντουργέτην.

www.tezaurliturgic.ro

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## Μεγαλυνάρια

Ὄρους Λάτρου μέγιστον ἀσκητήν, καὶ τῆς νήσου Σάμου, θεοπάρεδρον πρεσβευτήν, δεῦτε ἐγκωμίοις, τιμήσωμεν προφρόνως, ὁσίων κλέος Παῦλον, χάριτος πέλαγος.

Τύπωσον Μορφήν Σου Υἱὲ Θεοῦ, ταῖς ἡμῶν καρδίαις, ἀνεξάλειπτον ὡς ποτέ, ταύτην ἐν ὀθόνῃ, τοῦ σοῦ ὁσίου Παύλου, ἀΰλως καὶ ἀφράστως, ἐναπετύπωσας.

* * *

## <u>Στίχοι</u>

Τοῦ Παύλου, Παῦλε, ἔχων χριστοαγάπην<br>ταύτην δὸς ἡμῖν τοῖς πόθῳ σε τιμῶσι.

* * *

Ἀνεπληρώθη ἡ παροῦσα ἀκολουθία τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου τοῦ Λατρηνοῦ, τοῦ καὶ ἐν νήσῳ Σάμῳ ἀσκήσαντος, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω , τῇ φιλοσίῳ αἰτήσει τοῦ Σεβασμιωτάτου Μητροπολίτου Σάμου & Ἰκαρίας κ.κ. Παντελεήμονος (ΜπαρδάκÔ˘), ÙFÉ 29FË \OÎÙ^,Ú›Ô˘ 1994.

www.tezaurliturgic.ro